κλαῦσαν· πᾶσι γὰρ ὃς χαρίεις πέλεν· εἵνεκα πολλῶν
γλωσσῶν τ' ἰδμοσύνης ἤρατο πᾶσι κλέος.

## ἌΛΛΟ.

Φθόνον φόνου μὲν θῆτα χωρίζει μόνον
τἄλλα φθόνος δὲ ταὐτόν ἐστι τῷ φόνῳ·
φθόνῳ ὁμαρτεῖ πλειστάκις καὶ γὰρ φόνος.
εἰ δ' οὐκ ἀληθῆ ταῦτά σοι δοκῶ λέγειν,
ὁ τύμβος οὗτος ἐμπεδούτω τὸν λόγον.

## ΕἸΣ ΤῸ ΑΥ̓ΤΌ.

Τύμβε τίς; ἢ ποδαπὸς νέκυς ἦεν τόν ῥα τὺ κεύθεις;
ἔννεπε, λευγαλέην κῆρα τε ᾗ γ' ἐδάμη.
οὔνομα μὲν Σταμάτης, χῖος γένος, αὐτὰρ ὁμαίμων
Βερροίης κλεινῆς Ἀρχιθύτου ζαθέου·
οἴκτιστον πότμον δ' ἔτλη βίῃ, ἐνναετάων
Βερροίης κτανθεὶς χείρεσιν ἀνδροφόνοις.
τῷ γὰρ οἱ ἐγκότεον δεινῶς φθόνῳ, οὕνεκα πάντων
ἦν πέρι μὲν βουλῇ, ἦν πέρι δὲ ξυνέσει.

## ἌΛΛΟ.

Τίς; ἢ πόθεν; τίνος τε; τύμβε σὺ φράσον,
ὁ νεκρὸς ἔνδον ὃν κεκρυμμένον γ' ἔχεις.
Ῥούσης μὲν οὗτος Μακεδὼν γένος, ξένε,
ἐκ Κοζάνης τε παῖς πέλων Δημητρίου.
ἄριστος, ἀκμαῖός τε δ' ὤν, φεῦ, ἐν ξένῃ
τῶν τῇδ' ἀπῆρεν, εὐκλεῆ ζήσας βίον.